eul_wid: nmu-aa

*Παμφίλη Ἐπιδαυρία* · Pamphila of Epidaurus

# Historical Memoranda Fragments

## *Ἀποσπάσματα*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Κοινή* Koine
**Domain:** *Ἱστορία* History
**Format:** *Πεζός* Prose

t1-10 ΥΠΟΜΝΗΜΑΤΑ ΙΣΤΟΡΙΚΑ. Diog.

1 L. I, 24, de Thalete: Παρά τε Αἰγυπτίων γεωμετρεῖν μαθόντα φησὶ Παμφίλη πρῶτον καταγράψαι κύκλου τὸ τρίγωνον ὀρθογώνιον, καὶ θῦσαι βοῦν. Idem I, 63, de Chilone Lacedaemonio: Πρός τε τὸν ἀδελφὸν δυσφοροῦντα ὅτι μὴ ἔφορος ἐγένετο, αὐτοῦ ὄντος, «Ἐγὼ μὲν γὰρ ἐπίσταμαι,» εἶπεν, «ἀδικεῖσθαι, σὺ δὲ οὔ.

2 » Γέγονε δὲ ἔφορος κατὰ τὴν πεντηκοστὴν πέμπτην Ὀλυμπιάδα· Παμφίλη δέ φησι κατὰ τὴν ἕκτην. Καὶ πρῶτον ἔφορον γενέσθαι ἐπὶ Εὐθυδήμου, ὥς φησι Σωσικράτης. Καὶ πρῶτος εἰσηγήσατο ἐφόρους τοῖς βασιλεῦσι παραζευγνύναι. E LIBRO SECUNDO. [5]

3 (t) Diog. L. I, 76, de Pittaco: Παμφίλη δέ φησιν ἐν τῷ δευτέρῳ τῶν Ὑπομνημάτων, ὡς τὸν υἱὸν αὐτοῦ Τυρραῖον καθήμενον ἐπὶ κουρείου ἐν Κύμῃ χαλκεύς τις πέλεκυν ἐμβαλὼν ἀνέλοι. Τῶν δὲ Κυμαίων πεμψάντων τὸν φονέα τῷ Πιττακῷ, μαθόντα καὶ ἀπολύσαντα εἰπεῖν, «συγγνώμη μετανοίας κρείσσων.» Idem I, 90, de Cleobulo Lindio: Φέρεται δ’ αὐτοῦ ἐν τοῖς Παμφίλης Ὑπομνήμασι καὶ αἴνιγμα τοῖον· Εἷς ὁ πατὴρ, παῖδες δυοκαίδεκα. [5]

4 Τῶν δὲ ἑκάστῳ παῖδες δὶς τριάκοντα διάνδιχα εἶδος ἔχουσαι· αἱ μὲν λευκαὶ ἔασιν ἰδεῖν, αἱ δ’ αὖτε μέλαιναι· ἀθάνατοι δέ τ’ ἐοῦσαι, ἀποφθινύθουσιν ἅπασαι. Ἔστι δὲ ὁ ἐνιαυτός. E LIBRO QUINTO. [5]

5 (t) Idem I, 98: Σωτίων δὲ καὶ Ἡρακλείδης καὶ Παμφίλη ἐν τῷ πέμπτῳ τῶν Ὑπομνημάτων δύο φασὶ Περιάνδρους γεγονέναι, τὸν μὲν τύραννον, τὸν δὲ σοφὸν καὶ Ἀμβρακιώτην. Τοῦτο καὶ Νεάνθης φησὶν ὁ Κυζικηνὸς, ἀνεψιούς τε εἶναι ἀλλήλοις. Καὶ Ἀριστοτέλης μὲν τὸν Κορίνθιόν φησιν εἶναι τὸν σοφόν· Πλάτων δὲ οὔ φησι. E LIBRO SEPTIMO. [5]

6 (t) Idem II, 24, de Socrate: Αὐτάρκης τε ἦν καὶ σεμνός. Καί ποτε Ἀλκιβιάδου, καθά φησι Παμφίλη ἐν τῷ ἑβδόμῳ τῶν Ὑπομνημάτων, διδόντος αὐτῷ χώραν μεγάλην, ἵνα ἐνοικοδομήσηται οἰκίαν, φάναι, «καὶ εἰ ὑποδημάτων ἔδει, καὶ βύρσαν μοι ἐδίδους, ἵν’ ἐμαυτῷ ὑποδήματα ποιησαίμην, καταγέλαστος ἂν ἦν λαβών.» E LIBRO UNDECIMO. [5]

7 (t) Gellius N. A. XV, 23: Hellanicus, Herodotus, Thucydides, historiae scriptores, in iisdem fere temporibus laude ingenti floruerunt, et non nimis longe distantibus fuerunt aetatibus. Nam Hellanicus initio belli Peloponnesiaci fuisse quinque et sexaginta annos natus videtur,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Herodotus tres et quinquaginta, Thucydides quadraginta. Scriptum hoc ist in libro undecimo Pamphilae. E LIBRO VICESIMO QUINTO. [5]

8 (t) Idem III, 23, de Platone: Φησὶ δὲ Παμφίλη ἐν τῷ πέμπτῳ καὶ εἰκοστῷ τῶν Ὑπομνημάτων ὡς Ἀρκάδες καὶ Θηβαῖοι Μεγάλην πόλιν οἰκίζοντες παρεκάλουν αὐτὸν νομοθέτην. Ὁ δὲ μαθὼν ἴσον ἔχειν οὐ θέλοντας, οὐκ ἐπορεύθη. E LIBRO VICESIMO NONO. [5]

9 (t) Gellius N. A. XV, 17: Alcibiades Atheniensis quum apud avunculum Periclem puer artibus ac disciplinis liberalibus erudiretur, et arcessi Pericles Antigenidem tibicinem jussisset, ut eum canere tibiis, quod honestissimum tum videbatur, doceret: traditas sibi tibias, quum ad os adhibuisset inflassetque, pudefactus oris deformitate abjecit infregitque. Ea res quum percrebuisset, omnium tum Atheniensium consensu disciplina tibiis canendi desita est. Scriptum hoc est in Commentario Pamphilae nono et vicesimo. E LIBRO TRICESIMO SECUNDO. [10]

10 (t) Idem V, 36: Ὁ δὲ Θεόφραστος γέγονεν ἀνὴρ συνετώτατος καὶ φιλοπονώτατος καὶ, καθά φησι Παμφίλη ἐν τῷ τριακοστῷ δευτέρῳ τῶν Ὑπομνημάτων, διδάσκαλος Μενάνδρου τοῦ κωμικοῦ. [1]

Eulogikon public reading copy · View original HTML at eulogikon.org